# TEZAUR LITURGIC

## 8 MAI

# SLUJBA SF.CUVIOS ARSENIE CEL MARE

ATENA,2015


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 08 ΜΑΪΟΥ

# ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΡΣΕΝΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εις το Κύριε εκέκραξα, ιστώμεν στίχους δ’ , και ψάλλομεν τα Προσόμοια.

Ήχος α’ . Των ουρανίων ταγμάτων.

Δεύτε φιλέορτοι πάντες πανηγυρίζοντες, του θείου Αρσενίου, την πανένδοξον μνήμην, κανόνος μοναζόντων του ευκλεούς, και θερμώς ανακράζοντες· θεομακάριστε Πάτερ πάντων ημών, των τιμώντων σε μνημόνευε.

Πολιτευθείς εν τω κόσμω Πάτερ ως Άγγελος, Εδέμ των πρωτοτόκων, εις κατοίκησιν εύρες, Αρσένιε τρισμάκαρ και του Χριστού, καθοράς νυν το πρόσωπον, ου και της θείας αξίωσον σαις ευχαίς, τους πιστώς ανευφημούντάς σε.

Της ουρανών Βασιλείας το Ευαγγελίον, υπέρ της σωτηρίας, των πολλών ρητορεύσας, Αρσένιε ανέτλης καρτερικώς, δρόμους κόπους ιδρώτάς τε, ανθ’ ων αξίως εισέδραμες εις ζωής, αιωνίου την απόλαυσιν.

Των ουρανίων χαρίτων ταις ελλάμψεσιν, επεντρυφών απαύστως, και της δόξης του Κτίστου, επόπτης ως υπάρχων και κοινωνός, θεοφόρε Αρσένιε, μη διαλίπης πρεσβεύων υπέρ ημών, των εν πίστει ανυμνούντων σε.

Δόξα. Ήχος β' .

Όσιε Πάτερ, θεοφόρε Αρσένιε, αφειδήσας τελείως του σώματος, ψυχής την κατάστασιν ηυτρέπισας, ασκητική επιμελεία, διο σε ως καθαρόν, εις κατοικίαν εαυτής, του Παρακλήτου Πνεύματος, η χάρις ηρετίσατο. Αλλά πρέσβευε τω εν Τριάδι Θεώ, την ειρήνην δωρήσασθαι ταις ψυχαίς ημών.

Και νυν. Της εορτής.

Εις τον στίχον. Ήχος β' . Οίκος του Εφραθά.

Φέγγει τω θεϊκώ, σαυτόν καταλαμπρύνας, ασκητικοίς σου πόνοις, Αρσένιε αυγάζεις, καρδίας των τιμώντων σε.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Πρέσβευε τω Χριστώ, ως έχων παρρησίαν, Αρσένιε θεόφρον, ημίν την των πταισμάτων, συγχώρησιν δωρήσασθαι.

Στ.: Τίμιος εναντίον Κυρίου, ο θάνατος του Οσίου Αυτού.

Οίκον των αρετών, σαυτόν αποτελέσας, ασκήσας υπερ φύσιν, δοχείον ανεδείχθης, Αρσένιε της χάριτος.

Δοξα. Τριαδικόν.

Σέλας το φαεινόν, η άκτιστος Ουσία, Τριας Υπεραγία, ευχαίς του Αρσενίου, ειρήνην ημίν δώρησαι.

Και νυν. Θεοτοκίον.

Άχραντε Μαριάμ, συν θείω Αρσενίω, τον Σον Υιόν δυσώπει, την άφεσιν διδόναι, τοις πόθω ανυμνούσί σε.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος γ' . Θείας πίστεως.

Μέγα καύχημα, της Εκκλησίας, και του Πνεύματος σεπτόν δοχείον, ανεδείχθης θεοφόρε Αρσένιε, των αρετών γαρ εργάτης γενόμενος, και Μοναζόντων αλείπτης θερμότατος. Πάτερ Όσιε, Χριστόν τον Θεόν ικέτευε, δωρήσασθαι ημίν το μέγα έλεος.

Δόξα. Έτερον. Ήχος δ'. Ταχύ προκατάλαβε.

Θεώ προθυμότατα ανατεθείς αληθώς, του κόσμου τερπνότητα, απεβδελύξω σαφώς, Αρσένιε Όσιε, όθεν της ησυχίας, διαλάμψας τοις τρόποις, ώφθης των Μοναζόντων, ακριβής ποδηγέτης, και νυν τους ανυμνούντάς σε Πάτερ διάσωσον.

Και νυν. Της εορτής.

**ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ**

Στιχολογείται η α' στάσις του Μακάριος ανήρ. Εις δε το, Κύριε εκέκραξα,ψάλλομεν Στιχηρά Προσόμοια του Οσίου στ'.

Ήχος πλ. δ'. Ω του παραδόξου θαύματος

Πάτερ θεόφρον Αρσένιε, ταις των δακρύων πηγαίς, λαμπρυνθείς την διάνοιαν, τω Θεώ ωμίλησας, ανενδότοις καθάρσεσι και τη ελλάμψει, στύλος ολόφωτος, θεοσεβείας πυρσώ λαμπόμενος, ώφθης μακάριε, μοναστών το καύχημα, και νυν ημάς, πάντας περιφρούρησον, ταις ικεσίαις σου.

Όσιε Πάτερ Αρσένιε, συ τον Θεόν εκζητών, και ταις τούτου ελλάμπεσθαι, φωτοβόλοις λάμψεσιν, ευσεβώς εφιέμενος, περιφανείας πάσαν λαμπρότητα, και βασιλείους αυλάς κατέλιπες, και την αθάνατον, κληρουχίαν είληφας, μετά Χριστού, νυν συναυλιζόμενος θεομακάριστε.

Λόγου και γνώσεως έμπλεως, είπερ τις άλλος οφθείς, αρεταίς τε κατάκοσμος, πάσης δόξης γέγονας, της εντεύθεν ανάπλεως, αλλά τω θείω ζήλω πυρούμενος, και των αρρήτων καταγλιχόμενος, φεύγεις εις Αίγυπτον, ένθα βίον έζησας, ασκητικόν, βάρος δόξης άρρητον, ανταλλαττόμενος.

Έτερα. Ο αυτός. Τί ημάς καλέσωμεν Άγιοι;

Τι σε νυν καλέσω Αρσένιε; Μοναζόντων ποδηγέτην, Ασκητών υπογραμμόν, ζηλωτήν των Ασωμάτων, και προστάτην ευσεβών, εργάτην, αρετής ακαταπόνητος, ταμείον, δωρεών του θείου Πνεύματος. Πολλά σου τα προτερήματα, και άπειρα τα χαρίσματα, ικέτευε, του σωθήναι τας ψυχάς ημών.

Τι σε νυν προσείπω Αρσένιε; Της ερήμου καλλονήν, και ησυχίας εραστήν, των παθών εκμειωτήν, και Ασκητών καθηγητήν, πολίτην, των Αγγέλων και συνόμιλον, της άνω, Ιερουσαλήμ οικήτορα, των αρετών, ενδιαίτημα, τον της Αιγύπτου κοσμήτορα, ικέτευε, του σωθήναι τας ψυχάς ημών.

Τι σε ονομάσω Αρσένιε; Ποταμόν των ιαμάτων, και θαυμάτων αυτουργόν, εγκρατείας θείαν στάθμην, και Οσίων καλλονήν, Αγγέλων, συμπολίτην τηλαυγέστατον, δαιμόνων, καθαιρέτην και

αντίπαλον. Λαμπρά σου τα κατορθώματα, εξαίσια τα θαυμάσια, ικέτευε, του σωθήναι τας ψυχάς ημών.

Δόξα. Ήχος πλ. β᾽ .

Όσιε Πάτερ Αρσένιε μακάριε, των γεηρών αποκλίνων θεοσόφω φρονήματι, εν ερήμοις τόποις, της Αιγυπτου κατεσκήνωσας, εν οις τω παλαιώ πτερνιστή, τη στερροτάτη ασκήσει συμπλακείς, τούτου την έπαρσιν κατέβαλες, και τρόπαιον αιώνιον, αρετής τε και ασκήσεως έστησας, όθεν παρά Θεού δεξάμενος, υπέρλαμπρον και άφθαρτον στέφανον, εν ουρανοίς υπερφυώς εδοξάσθης, και παρέστης Αυτώ ευκλεώς, πρεσβείαν ποιούμενος, υπέρ των ψυχών ημών

Και νυν... Της εορτή

Είσοδος. Φως ιλαρόν. Αναγνώσματα.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. Γ , 1-9).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ´ ημών πορεία σύντριμμα, οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες μεγάλα ευεργετηθήσονται · ότι ο Θεός επείρασεν αυτούς και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη και κρατήσουσι λαών, και

βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ΄ αυτώ συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. Δ΄, 7-15).

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον ου το πολυχρόνιον ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις και ηλικία γήρως βίος ακηλίδωτος. Ευάρεστος τω Θεώ γενόμενος ηγαπήθη και ζων μεταξύ αμαρτωλών μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού η δόλος απατήση ψυχήν αυτού· βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις εκλεκτοίς αυτού και επισκοπή εν τοις οσίοις αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα.

(Κεφ. Ε΄, 15-23 & Στ΄, 1-3).

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου, ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τον ζήλον αυτού, και οπλοποιήσει την κτίσιν

εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, και περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν· συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας. Πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ΄ αυτών ύδωρ θαλάσσης, ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως και λαίλαψ εκλικμήσει αυτούς· και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν βασιλείς και σύνετε· μάθετε δικασταί περάτων γης. Ενωτίσασθε οι κρατούντες πλήθους, και γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ. Ήχος α’ .

Ευφραίνου εν Κυρίω, η μεγαλώνυμος Ρώμη, σκίρτα η Αγιοτόκος Αίγυπτος, επί τη μνήμη σήμερον, Αρσενίου του ουρανόφρονος. Ιδού γαρ ούτος ο μακάριος, εν ταις ερημίαις θεϊκή γεωργία, ως άνθος αμάραντον εξήνθησεν, τη ευωδία των αυτού αρετών, μυστικώς επλήρωσε. Διο και νυν τω Κυρίω παριστάμενος, πρεσβεύει αδιαλείπτως, ελεηθήναι τας ψυχάς ημών.

Ήχος β’ .

Τον αριστέα τον αειφανή, τον εν τω ουρανώ της αρετής εστηριγμένος, και της ασκήσεως, ωραιοδρόμον ήλιον, τον του

όντως εραστού θεράποντα γνήσιον, Αρσένιον τον αοίδιμον, των Ασκητών οι δήμοι, εν εγκωμίοις ευφημήσωμεν. Ούτος γαρ ο μακάριος, εκ της Ρώμης, εις την πόλιν του Κωνσταντίνου μετέβη, ύστερον δε εν τη Αιγύπτω προφητικώς αυλιζόμενος, βίον ασκητικόν διέτριβεν. Και νυν Θεώ παριστάμενος, ακαταπαύστως πρεσβεύει, τυχείν ημάς των αιωνίων αγαθών.

Ήχος δ' .

Εν τοις ουρανοίς το πολίτευμα έχων, Πάτερ θεόφρον Αρσένιε, των επικήρων τερπνών κατεφρόνησας, και ερημοπολίτης γενόμενος, εν της Αιγύπτου ερήμοις, ψαλμικώς ηυλίσθης φυγαδεύων, ένθα τω μόνω Θεώ συγγινόμενος, και Αυτού το έλεος ασκητικώς προσδεχόμενος, σαυτόν ταις υπέρ φύσιν αρεταις, προς ουρανόν αληθώς ανεπτέρωσας. Και νυν συν Αγγέλοις οικών, πρέσβευε αδιαλείπτως, υπέρ των ψυχών ημών.

Δόξα. Ο αυτός.

Τον εν Οσίοις διδάσκαλον, εν Ασκηταίς κανόνα μέγιστον, Αρσένιον τον θείον, επαξίως μακαρίσωμεν. Ούτος γαρ ως στερρότατος, τας του διαβόλου μηχανάς, τη δυνάμει του Αγίου Πνεύματος διέλυσε, και εις λειμώνας της αρετής, των μοναζόντων τα συστήματα κατηύθυνε. Διο εν τω βίω αυτού καλώς πολιτευσάμενος, Χριστώ νυν παρίσταται, Αυτώ αεί πρεσβεύων, υπέρ τοις τιμώσιν αυτού, την μνήμην την σεβάσμιον.

Και νυν. Της εορτής.

Εις τον Στίχον. Ήχος πλ. α’ . Χαίροις ασκητικών αληθώς.

Χαίροις, των αρετών ο κανών, θεοχαρίτωτον του Πνεύματος τέμενος, το ρόδον της απαθείας, το διαπνέον αεί, της δικαιοσύνης την διάδοσιν, ηθών ο διδάσκαλος, της αγνείας ο τρόφιμος, η ζωσα στήλη, η τον νόμον της χάριτος, περιφέρουσα, εις ψυχών περιποίησιν, ήλιος ο πολύφωτος, αγάπης την έλλαμψιν, προσεφαπλών ως ακτίνας, τοις εν τω σκότει καθεύδουσι, Αρσένιε Πάτερ, και φωτίζων τας καρδίας των ευφημούντων σε.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Χαίροις, των μοναζόντων αστήρ, ο της αδύτου πεπλησμένος ελλάμψεως, την Αίγυπτον ο φωτίσας, ταις των θαυμάτων αυγαίς, ώσπερ εωσφόρος ουρανόφωτος, ο πάσαν Αρσένιε, ταις θερμαίς σου δεήσεσι, καταπατήσας, του εχθρού την κατήφειαν, ως ο μέγιστος, Ηλιού θαυμαζόμενος, όθεν θεομακάριστε, τον μόνον Φιλάνθρωπον, καθικετεύων μη παύση, τοις ευσεβώς σε γεραίρουσι, αιτούμενος πάσιν, ιλασμόν και σωτηρίαν, και μέγα έλεος.

Στ.: Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου Αυτού.

Χαίροις, ο της Αιγύπτου φωστήρ, Βασιλευούσης και της Ρώμης αγλάϊσμα, ο βίω λελαμπρυσμένω, καταφωτίσας αυτάς, την εν μυστηρίω θείαν έλλαμψιν, Αρσένιε Όσιε, Μοναστών εγκαλλώπισμα, της εγκρατείας, αληθής υποτύπωσις, σκεύος πάγχρυσον, δωρημάτων του Πνεύματος, λαμπάς η πολύφωτος, της

θείας ασκήσεως, ο νοηταίς φωταυγείαις, λύων παθών την σκοτόμαιναν. Χριστόν εκδυσώπει, ταις ψυχαίς ημών δοθήναι το μέγα έλεος.

Δόξα. Ήχος πλ. δ’ .

Χριστόν επόθησας αληθώς, Πάτερ Όσιε, και Αυτώ παρεδόθης, τα του κόσμου, ανεπιστρόφως καταλιπών, εν Αιγύπτω ελθών, στερρώς επεδόθης εις άσκησιν, παρθενίαν και νηστείαν και προσευχήν ηγάπησας, και μοναζόντων ανεδείχθης, οδηγός ακριβέστατος. Διο Αρσένιε παμμακάριστε, εν κατανύξει δεόμεθά σου, πρέσβευε τω Σωτήρι και Θεώ, πάσι δοθήναι το μέγα έλεος.

Και νυν. Της εορτής.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος γ’ . Θείας πίστεως.

Μέγα καύχημα, της Εκκλησίας, και του Πνεύματος σεπτόν δοχείον, ανεδείχθης θεοφόρε Αρσένιε, των αρετών γαρ εργάτης γενόμενος, και Μοναζόντων αλείπτης θερμότατος. Πάτερ Όσιε, Χριστόν τον Θεόν ικέτευε, δωρήσασθαι ημίν το μέγα έλεος.

Δόξα. Έτερον. Ήχος δ’ . Ταχύ προκατάλαβε.

Θεώ προθυμότατα ανατεθείς αληθώς, του κόσμου τερπνότητα, απεβδελύξω σαφώς, Αρσένιε Όσιε, όθεν της ησυχίας, διαλάμψας τοις τρόποις, ώφθης των Μοναζόντων, ακριβής ποδηγέτης, και νυν τους ανυμνούντάς σε Πάτερ διάσωσον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α’ στιχολογίαν, κάθισμα. Ήχος α’ . Τον τάφον Σου Σωτήρ.

Τον θείον και κλεινόν, Ασκητήν του Κυρίου, Αρσένιον πιστώς, ευφημήσωμεν πάντες, αυτώ ανακράζοντες· παμμακάριστε Όσιε, τους προστρέχοντας, τη κραταιά σου πρεσβεία, απο θλίψεων, και πολυτρόπων κινδύνων, ευσπλάγχνως διάσωσον.

Δόξα. Και νυν. Της εορτής.

Μετά την β’ στιχολογίαν, κάθισμα. Ήχος γ’ . Θείας πίστεως.

Ως ευκέλαδος, χάριτος όρνις, χαίρων έπηξας, την καλιάν σου, εν της Αιγύπτου τρισμάκαρ τοις ορεσι, εντεύθεν κούφως πτεροίς της ασκήσεως, προς απαθείας το ύψος επέτασας, όθεν πρέσβευε, Αρσένιε Χριστώ τω Θεώ, δωρήσασθαι ημίν το μέγα έλεος.

Δόξα. Και νυν. Της εορτής.

Μετά τον Πολυέλεον, κάθισμα. Ήχος δ’ . Κατεπλάγη Ιωσήφ.

Ευφημείσθω μοι λαμπρώς, πόλεως Ρώμης ο βλαστός, γεραιρέσθω μοι φαιδρώς, ο Ασκητών υπογραμμός, ο ιερός μοι Αρσένιος ανυμνείσθω, νίκης ευκλεούς, ο αράμενος, στέφος τη χειρί, του Παντάνακτος, ως ανδρικώς νικήσας του βελίαρ, ασκητικώς την παράταξιν, και γαρ πρεσβεύει σώζεσθαι πάντας, τους αυτώ προσιόντας.

Δόξα. Και νυν. Της εορτής.

Οι αναβαθμοί, το α’ αντίφωνον του δ’ ἦχου.

Προκείμενον: Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου Αυτού.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Ευαγγέλιον.

Ζήτει εις τον όρθρον της εορτής του Αγίου Σάββα, Δεκεμβρίου ε’ , Παρασκευή β’ εβδομάδος Λουκά (Λουκά στ , 17-23)

Ο Ν ψαλμός.

Δόξα: Ταις του Σου Οσίου...

Και νυν: Ταις της Θεοτόκου...

Ιδιόμελον. Ήχος πλ. β . Στ.: Ελεήμον, ελέησόν με ο Θεός...

Σήμερον, η του Οσίου Αρσενίου μνήμη, ως αστήρ φωτοφανής επέστη, την Ρώμην και την Βασιλεύουσα, και της Αιγύπτου την έρημον φωτίζουσα, εν οσιότητι και αληθεία, τη των θείων δωρεών λαμπρύνει τους βοώντας· χαίροις Οσίων το εγκαλλώπισμα και Ασκητών το αγλάϊσμα, ο τω Σωτήρι και νυν παριστάμενος, πανεύφημε Πάτερ, πρέσβευε αδιαλείπτως, σωθήναι τας ψυχάς ημών.

Οι Κανόνες· της εορτής· και του Αγίου β . Ο α κανών, εκ του Μηναίου.

Ωδή α' Ήχος πλ. δ'. Αρματηλάτην Φαραώ

Τω του Δεσπότου πειθαρχών Αρσένιε, θείω προστάγματι, βασιλικού πλούτου, δόξαν καταλέλοιπας, ώσπερ ο νομοθέτης Μωσής, και φυγών τους ανθρώπους, Αγγέλοις γέγονας σύσκηνος, άμα συν αυτοίς ευφραινόμενος.

Συ τους θορύβους εκφυγών Αρσένιε, ως αμαρτίας πηγάς, τη σιωπή γλώσσαν, εχαλιναγώγησας· όθεν εν αταράχω τον νουν, ησυχία τηρήσας, του θείου Πνεύματος γέγονας, αξιοπρεπές ενδιαίτημα.

Θεοτοκίον

Δεδοξασμένα περί σου λελάληνται, εν γενεαίς γενεών, η τον Θεόν Λόγον, εν γαστρί χωρήσασα, αγνή δε διαμείνασα, Θεοτόκε Μαρία· διο σε πάντες γεραίρομεν, την μετά Θεόν προστασίαν ημών.

Έτερος, ου η ακροστιχίς: Ασκητικούς σου αγώνας ανυμνώ, Αρσένιε.

Ωδή α’ . Ήχος α’ . Σου η τροπαιούχος δεξιά.

Αίγλη τρισηλίου αστραπής, φωτιστικώς αυγαζόμενος θεόφρον, ταύτην την πανίερόν σου εορτήν, τους ευσεβώς γεραίροντας, σκότους αμαρτίας, παθών Αρσένιε λύτρωσαι.

Σύμμορφος γενόμενος μάκαρ, των νοερών Αρχαγγέλων θείω λόγω, και πράξει Αρσένιε, και συν αυτοίς τω θρόνω παριστάμενος, της σεπτής Τριάδος, αεί δυσώπει σωθήναι ημάς.

Καθαρόν έχων τον λογισμόν, φωτοειδή δεκτικόν επιλάμψεων, μόνον επεπόθησας, το όντος ον, ως νουνεχής και φρόνιμος, Πάτερ Αρσένιε, εκ τούτου χάριν απέλαβες.

Θεοτοκίον.

Η τον απερίληπτον Θεόν, περιγραφόμενος σώματι τέξασα, σάρκα χρηματίσαντα, υπερβολή Παρθένε άγαθότητος, τούτον εκδυσώπει, κινδύνων σώσαι τους δούλους Σου.

Ωδή γ'. Ο στερεώσας κατ' αρχάς

Πάτερ Αρσένιε της σης, χριστομιμήτου πτωχείας, το τραχύ και ευτελέστατον ράκος, το περίδοξον της πριν, εσθήτος κατεκάλυπτε, την της αφράστου δόξης, στολήν σοι περιποιούμενον.

Τας προσβολάς των δυσμενών, και ακαθάρτων πνευμάτων, εκ Θεού συντετριμμένη καρδία, δεδεγμένος αρωγήν, Αρσένιε κατέρραξας, τροπαιοφόρος Πάτερ, τη ταπεινώσει γενόμενος.

Θεοτοκίον

Των Χερουβίμ και Σεραφίμ, εδείχθης υψηλοτέρα, Θεοτόκε· συ γαρ μόνη εδέξω, τον αχώρητον Θεόν, εν ση γαστρί αμόλυντε· διο πιστοί σε πάντες, ύμνοις αγνή μακαρίζομεν.

Έτερος. Ο μόνος ειδώς της των βροτών.

Τα πάθη εν τη ασκήσει, τεφρώσας ιερώτατε Αρσένιε, προς έρημον Αιγύπτου, ως άγγελος βιώσας επί της γης, τον δόλιον έκτεινας, και τον Χριστόν αγαπήσας, Αυτώ συμβασιλεύεις πανεύφημε.

Ιερώ πόθω πυρούμενος, τη ασκήσει υπέταξας, το της σαρκός Αρσένιε φρόνημα, αγώνα δε στερρώ κατεπάλαισας, τον δόλιον δράκοντα, θεία δε επιδόσει, αξίως δεξάμενος τον στέφανον.

Καλώς οδεύσας τρίβον στενήν, εν ερήμω της Αιγύπτου, ασκητικώς τον βίον σου διάγων, δι' αγώνων την τρυφήν ευράμενος,

εν προσευχή δε θεία, παμμάκαρ Αρσένιε, την ουράνιον τέρψιν δρεπόμενος.

Θεοτοκίον.

Ο εκ Σου ανατείλας ημίν, Ήλιος ο ανέσπερος, φωτιστικαίς Πανάμωμε λάμψεσι, φωτίζων κόσμον σκότει κρατούμενον, και προσαπολλύμενον, πλάνη του αλάστορος, Αγνή Παρθένε Μήτηρ Ανύμφευτε.

Κάθισμα. Ήχος δ’ . Ταχύ προκατάλαβε.

Χριστώ συνεσταύρωσαι ασκητική βιοτή, μισήσας ως πάνσοφος, τας εφημέρους τρυφάς, και πάσαν απόλαυσιν, όθεν εν τοις υψίστοις ω Αρσένιε μάκαρ, μέτοχος ανεδείχθης, εκλεκτών της μερίδος, πρεσβεύων τω Κυρίω, υπέρ των τιμώντων σε.

Δόξα. Ήχος πλ. δ’ . Την Σοφίαν και Λόγον.

Τους θορύβους του βίου αποφυγών, και ησύχως τον βίον διατελών, τα πάθη ενέκρωσας, και τον νουν ανεπτέρωσας, προς τον Θεόν και στύλος, πυρός εχρημάτισας, και φωστήρ απάντων, πιστών των τιμώντων σε, όμβροις δε δακρύων, πιαινόμενος ώφθης, ως δένδρον κατάκαρπον, εν αυλαίς του Θεού ημών, θεοφόρε, Αρσένιε. Πρέσβευε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω, την αγίαν μνήμην σου.

Και της Εορτής

Ωδή δ'. Συ μου ισχύς, Κύριε

Συ βιαστής, φύσεως ώφθης Αρσένιε, συ τα πάθη, πάτερ, καθυπέταξας, τω νοερώ ηγεμονικώ, καθάπερ οικέτη, τω ύπνω

εγκελευόμενος· διο και εν παννύχοις, αγρυπνίαις εβόας· τη δυνάμει σου δόξα Φιλάνθρωπε.

Συ τον Θεόν, Όσιε πόθω εζήτησας, συ φανέντα, πλείον επεπόθησας, και τη καθάρσει θεοειδής, όλος χρηματίσας, τω ποθουμένω ωμίλησας, και έγνως τη ενώσει, τον υπέρτερον πάσης, καταλήψεως Πάτερ, Αρσένιε.

Θεοτοκίον

Συ των πιστών, καύχημα πέλεις ανύμφευτε, συ προστάτις, συ και καταφύγιον, Χριστιανών, τείχος και λιμήν· προς γαρ τον Υιόν σου, εντεύξεις φέρεις Πανάμωμε, και σώζεις εκ κινδύνων, τους εν πίστει και πόθω, Θεοτόκον αγνήν, σε γινώσκοντας.

Έτερος. Όρος σε τη χάριτι.

Υψώσας τον νουν, και τον Σταυρόν σου αράμενος, κατηκολούθησας Χριστού, τας σωτηρίους εντολάς, και τούτου γενόμενος, εκμιμητής, μέχρι θανάτου Αρσένιε, νυν απολαύεις Αυτού της λαμπρότητος.

Συνήφθης τοις άνω, στρατεύμασι Αρσένιε, ως γαρ βιώσας τιμίως, εν τοις ερήμοις Αιγύπτου, δυνάμει του Πνεύματος, θεοφόρε Οσίων κλέος και καύχημα, χαρμονικώς δια τούτο τιμώμέν σε.

Σθένοις σοι Αρσένιε, δωρείται ο Κύριος, δι’ ασθενείας της σαρκός, καταπαλαίσαι τον εχθρόν, και τοις θείοις αγώσι, ασκητικώς, ετέθης Πάτερ στερρότατα, και την ουράνιον χάριν απέλαβες.

Θεοτοκίον.

Όντως Σε μόνην, εκ πάντων εξελέξατο, ο Υπερούσιος Θεός, και ουσιώθη καθ' ημάς, γενόμενος άνθρωπος, ο πλαστουργός της ανθρωπίνης υπάρξεως, Θεογεννήτορ, Πανάμωμε Δέσποινα.

Ωδή ε'. Ίνα τι με απώσω

Τον μεσίτην της πρώτης, Πάτερ παραβάσεως του πρωτοπλάστου Αδάμ, ευσεβώς απώσω, του εχθρού ευ ειδώς, τα σοφίσματα· διο εν αχράντω, χοροβατών τρυφής λειμώνι, τον Δεσπότην Χριστόν καθικέτευε.

Σεαυτόν απηρνήσω, πάσαν ηδυπάθειαν απαρνησάμενος, και επί των ώμων, τον Σταυρόν σου βαστάσας Αρσένιε, και Χριστόν ποθήσας, εν ουρανοίς συγκληρονόμος, επαξίως αυτού εχρημάτισας.

Θεοτοκίον

Μητρικήν παρρησίαν, την προς τον Υιόν σου κεκτημένη Πάναγνε, συγγενούς προνοίας, της ημών μη παρίδης δεόμεθα, ότι σε και μόνην, Χριστιανοί προς τον Δεσπότην, ιλασμόν ευμενή προβαλλόμεθα.

Έτερος. Ο φωτίσας τη ελλάμψει.

Υπέρμαχος εφάνης των μοναζόντων θεόφρον, και φωτοφόρος λυχνία της ερήμου γέγονας, και Θεόν εκήρυξας, τοις πιστώς προσερχομένοις σοι, Αρσένιε Πάτερ Όσιε.

Αι τρίβοι σοι, και πορείαι προς μόνον φερόμενον, τον Κύριον, ανοδίας δολίου εξέκλιναν, και πολλοίς γεγόνασιν οδός ευθεία και πρατεία, Πάτερ θεόφρον Αρσένιε.

Γεγένησαι νεκρός εν τω κόσμω Πάτερ Όσιε, δεξάμενος, αφθαρσίας στολήν και αθάνατον, και δόξαν κεκλήρωσαι, αντί προσκαίρων και φθαρτών, όθεν τιμώμεν Αρσένιε.

Θεοτοκίον.

Ως φωτεινή του Ηλίου νεφέλη, Πανάμωμε απέλασον, της ψυχής μου τα νέφη πρεσβείαις Σου, και τον νουν μου φώτισον, τη αμελεία σκοτισθέντα, όπως υμνώ Σε Πανύμνητε.

Ωδή ς'. Άβυσσος αμαρτιών

Φρόνημα το της σαρκός, ευσεβώς δι' απαθείας νεκρώσας, ουχ ηρετίσω κλήρον τον επίγειον Όσιε, της Χριστού επιποθών, Πάτερ Αρσένιε, εν υψίστοις, κληροδοσίας την απόλαυσιν.

Ήλιος επιφανείς, την ολόνυκτόν σου έλυσε στάσιν, του νοητού Ηλίου, την ασύγκριτον έλλαμψιν, μετά τους εν τη νυκτί, βίου καμάτους σου, προμηνύων, περιαυγάσειν σοι Αρσένιε.

Θεοτοκίον

Έχουσα το συμπαθές, η τεκούσα τον φιλάγαθον Λόγον, σώσον ημάς βιαίας, και δεινής περιστάσεως· σε γαρ μόνην οι πιστοί, πάναγνε Δέσποινα, προστασίαν, ακαταμάχητον κεκτήμεθα.

Έτερος. Εκύκλωσεν ημάς εσχάτη άβυσσος.

Νοΐ, εξευμενίσας Θεόν παμμάκαρ, και εδούλευσας προθύμως, Αυτώ προσευχή και αγάπη ενεργώ, και τον όφιν τον αρχαίον σοις λόγοις Αρσένιε, επάτησας δυνάμει του Πνεύματος.

Αγώνας τους θείους, και πλήρεις χάριτος ενθέως συ διήνυσας, τον αρχαίον δράκοντα, Πάτερ Αρσένιε κατετρόπωσας, και τοις χοροίς, των Ασωμάτων νυν συναγάλλεσαι.

Στερρότητι ψυχής Πάτερ Αρσένιε, εδείχθης αταπείνωτος, εν τη ασκήσει σου τη θειοτάτη, Αιγύπτου ταις ερήμοις και τοις όρεσι, όθεν προς φως, μετέβης μάκαρ ανέσπερον.

Θεοτοκίον.

Άλλον Σε ουρανόν του πρώην Δέσποινα, δειχθείσαν υψηλοτέραν, σε δοξάζομεν τον Ήλιον ημίν, της δικαιοσύνης ανατείλασαν, και το βαθύ, της αγνωσίας σκότος διώξασα.

Κοντάκιον. Ήχος πλ. δ’ . Τη Υπερμάχω.

Της ιεράς φωτοφανείας θείον έσοπτρον, τη ισαγγέλω πολιτεία εχρημάτισας, εν ερήμω βιοτεύσας της Αιγυπτίας, αλλ’ ως μέγας του Θεού θεράπων Όσιε, καθικέτευε λυτρούσθαι πάσης θλίψεως, τους βοώντάς σοι· Χαίροις Πάτερ Αρσένιε.

Οίκος.

Άγγελος εν Αιγύπτω, αληθώς ανεδείχθης, Αρσένιε βιώσας οσίως, και ουρανίου ήδη χαράς, μετεσχηκώς τελέσας τον αγώνά σου, ικέτευε δεόμεθα, υπέρ των πίστει σοι βοώντων·

Χαίρε, Θεού ο θείος θεράπων·

χαίρε, φωτός αΰλου θεάμων.

Χαίρε, πόλεως Ρώμης, θείον εκβλάστημα·

χαίρε, της Αιγύπτου, πανεύφημον σέμνωμα.

Χαίρε, ότι ηκολούθησας, ολοτρόπως τον Χριστόν·

χαίρε, ότι εμεγάλυνας, βιοτή σου τον Θεόν.

Χαίρε, ότι εδείχθης, Ασκητής θεοφόρος·

χαίρε, ότι ωράθης, ταπεινώσεως φάρος.

Χαίρε, θείας αγάπης, το έσοπτρον·

χαίρε, εχθρού απάτης, το θέριστρον.

Χαίρε, σοφός Ασκητών ποδηγέτης·

χαίρε, ημών, κραταιός ποδηγέτης.

Χαίροις Πάτερ Αρσένιε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τη Η' του αυτού μηνός, Μνήμη του Αγίου ενδόξου Αποστόλου και Ευαγγελιστού, επιστηθίου, φίλου, ηγαπημένου και παρθένου, Ιωάννου του Θεολόγου, ήτοι, η σύναξις της Αγίας κόνεως, της εκπεμπομένης εκ του τάφου αυτού, ήγουν του μάννα.

Ου βρώσιν, αλλά ρώσιν ανθρώποις νέμει, Το του τάφου σου μάννα, μύστα Κυρίου. Ογδοάτη τελέουσι ροδισμόν βροντογόνοιο.

Ωδή ζ'. Θεού συγκατάβασιν

Την λύμην ιώμενος, των πάλαι μύρων Πάτερ Αρσένιε, δυσωδίας ηνέσχου, και ευωδίας μύρον Χριστού γεγονώς, τη μετουσία της χάριτος έλεγες· Ευλογητός ο Θεός ο των Πατέρων ημών.

Τον θείον εν σώματι, υπέδυς γνόφον Πάτερ Αρσένιε, εν Χριστώ μυηθείς δε, Πατρός ανάρχου γνώσιν και Πνεύματος, την εν Τριάδι μονάδα ανύμνησας· Ευλογητός εκβοών ο των Πατέρων Θεός.

Τριαδικόν.

Απάντων μεν Κύριον, ενός δε μόνου μονογενούς Υιού, ορθοδόξως Πατέρα, θεολογούντες σε καταγγέλλομεν, και εν ειδότες σου εκπορευόμενον, Πνεύμα ευθές συμφυές και συναΐδιον.

Έτερος. Σε νοητήν, Θεοτόκε κάμινον.

Νοΐ, τω σω ευσεβείας όργανον, υπάρχεις συ λαμπρότατον, και πόνων των ασκητικών, έμψυχον κειμήλιον, δοχείόν τε χάριτος, τίμιον Πάτερ Αρσένιε, τους ευλαβώς σε τιμώντας, αεί σκέπε πρεσβείαις σου.

Υπό νόμον του Χριστού ελαμπρύνθης, την ψυχήν σου εκάθηρας, λογισμούς της πονηρίας, αποβαλών θεόφρον, Μοναστών γεγένησαι, ποδηγέτης ιερώτατος, υμνών Πάτερ Αρσένιε, τον Θεόν εις τους αιώνας.

Μέγιστον συ, γενόμενος δοχείον, διδασκαλίαις σου αυγαίς, και ακτίσι έργων καλών, μοναστών εφώτισας, λαμπρώς τα συστήματα, Πάτερ θεόφρον Αρσένιε, διο φωτός εν Υψίστοις, οικείν νυν θείον θάλαμον.

Θεοτοκίον.

Νύμφη λάμψον, εν εμοί της χάριτος, τον φωτισμόν τον μυστικόν, η το φως τεκούσα Χριστόν, πιστώς ίνα κράζω Σοι, ο

άθλιος δούλός Σου· Χαίρε Παρθένε Πανύμνητε, Ευλογημένη Μαρία, Θεού Μήτερ απείρανδρε.

Ωδή η'. Επταπλασίως κάμινον

Των ηδονών Αρσένιε, την ψυχόλεθρον πύρωσιν, την κολαστικήν τε, της γεέννης έκκαυσιν, ευτόνως κατέσβεσας, τοις των δακρύων ρεύμασιν· αλλά και ημάς, εξ αμφοτέρων ρυσθήναι, μη παύση ικετεύων, τον Σωτήρα του κόσμου, Χριστόν, ον ευλογούμεν εις πάντας τους αιώνας.

Επταπλασίως Όσιε, κατανύξεως κάμινον, της Βαβυλωνίας, σεαυτώ εξέκαυσας, εν η δροσιζόμενος, τω φωτισμώ της χάριτος, τον Δημιουργόν και Λυτρωτήν ανεβόας· Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τους αιώνας.

Τριαδικόν.

Τρισσοφαή Θεότητα, ενιαίαν εκλάμπουσαν, αίγλην εκ μιας, τρισυποστάτου φύσεως, Γεννήτορα άναρχον, ομοφυά τε Λόγον Πατρός, και συμβασιλεύον, ομοούσιον Πνεύμα· οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τους αιώνας.

Έτερος. Εν καμίνω παίδες Ισραήλ.

Ως χωνεία τη φωτολαμπεί, Αρσενίου αγνεία, τα πάθη τα της σαρκός αποκαθάρας, ως χρυσός, τοις εξήστραψας αναμέλπων· πάντα τα έργα Κυρίου, τον Κύριον υμνείτε και υπερυψούτε, εις πάντας τους αιώνας.

Αγίας συ έτυχες ζωής, ως επόθησας ταύτην, ασκητικώς Αρσένιε, την επίκηρον ζωήν κατέλιπες εκβοών· πάντα τα έργα Κυρίου, τον Κύριον υμνείτε και υπερυψούτε, εις πάντας τους αιώνας.

Ρητορεύων σεπτοίς λόγοις σου, θεορρήμον Αρσένιε, μέγας κοσμήτωρ γέγονας, εν ουρανοίς νυν οικών, συν Αγγέλοις εκβοών· πάντα τα έργα Κυρίου, τον Κύριον υμνείτε και υπερυψούτε, εις πάντας τους αιώνας.

Θεοτοκίον.

Συντηρήσας σήμαντρα της Σης, Άχραντε παρθενίας, αλώβητα ο Δεσπότης, προελήλυθε Χριστός, εκ Σου υπέρ έννοιαν εις το σώσαι, τους βοώντας· τον Κύριον υμνείτε και υπερυψούτε, εις πάντας τους αιώνας.

Ωδή θ'. Εξέστη επί τούτω ο ουρανός

Μωσής εθαυμαστώθη αξιωθείς, κατιδείν της Παρθένου την κύησιν, συμβολικώς, βάτω τυπουμένην φλογοειδεί, συ δε τω θείω Πνεύματι, όλος δι' εκστάσεως συγκραθείς, πυρίμορφος ωράθης· διο και επαξίως, σε μακαρίζομεν Αρσένιε.

Ανέτειλε Χριστός σοι άδυτον φως, ευφροσύνη δε σε υπεδέξατο, εν ουρανοίς· μνήμη γαρ θανάτου διηνεκεί, τον σεαυτού προσήγαγες, βίον ακηλίδωτον εμμελώς· διο και επαξίως, απείληφας των πόνων, επικαρπίας Παμμακάριστε.

Θεοτοκίον

Ωράθης ω Παρθένε Μήτηρ Θεού, υπέρ φύσιν τεκούσα εν σώματι, τον αγαθόν, Λόγον εκ καρδίας της εαυτού, ον ο Πατήρ

ηρεύξατο, πάντων προ αιώνων ως αγαθός, ον νυν και των σωμάτων, επέκεινα νοούμεν, ει και το σώμα περιβέβληται.

Έτερος. Τύπον της αγνής λοχείας Σου.

Έστης Πάτερ της εφέσεως, των ορεκτών κρατήσας το τελειότατον, και εδέξαντο εις ουρανών σε σκηνώματα, των Ασωμάτων Αγγέλων τάγματα, μεθ' ων καθικετεύεις, υπέρ ημών τον Παντοκράτορα.

Νυν προς άνω Μονάς ανήλθε, ο θεοφόρος και ιερός Αρσένιος, και τους ουρανούς περιπολεί αγαλλόμενος, υπέρ πάντων ημών τον Φιλάνθρωπον, αεί καθικετεύει, ως έχων παρρησίαν προς Αυτόν.

Ίνα θεϊκής λαμπρότητος, και αιωνίου δόξης και ωραιότητος, καταξιωθείς, θεόφρον Πάτερ Αρσένιε, εν ερήμοις Αιγύπτου, κακουχίας υπέμεινας ανδρείως, διο σε πάντες μακαρίζομεν.

Θεοτοκίον.

Επιδρομής κακίας ημάς λύτρωσαι, ως μόνος φιλάνθρωπος Κύριε, και αμαρτιών και πειρασμών, και κολάσεως αιωνίου, ευχαίς της τεκούσης Σε, Παρθενου Παναγίας, και Αρσενίου του παμμάκαρος.

Εξαποστειλάριον. Ήχος β'. Τοις Μαθηταίς συνέλθωμεν

Τω του Δεσπότου Όσιε, πειθαρχών θείω νόμω, πάντα τον κόσμον έλιπες, και λαβών τον σταυρόν σου, Πάτερ Αρσένιε χαίρων, ηκολούθησας τούτω, νηστείαις και τοις δάκρυσι, θεοφόρε σχολάζων, και προσευχή, στάσει τε παννύχω και ησυχία, δι' ης εκράθης πάνσοφε, τη Αγία Τριάδι.

Έτερον. Ο αυτός. Γυναίκες ακουτίσθητε.

Της Ρώμης το αμάραντον, βλαστόν ανευφημήσωμεν, τον εν ερήμοις Αιγύπτου, ασκητική πολιτεία, ως άνθος εξανθήσαντα, Αρσένιον τον μέγιστον, αυτού γαρ νυν επέφανε, η πανσεβάσμιος μνήμη, καταλαμπρύνασα κόσμον.

Και της Εορτής

Εις τους Αίνους, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'. Ω του παραδόξου θαύματος

Πάτερ θεόφρον Αρσένιε, της κοσμικής σεαυτόν, αποστήσας συγχύσεως, προς την υπερκόσμιον, ανηνέχθης ακρότητα, αυτήν ποθήσας, των αγαθών την πηγήν, αυτό το όντως, εφετόν έφθασας, ου ταις ελλάμψεσι, μάκαρ πυρσευόμενος, αμαρτιών, ζόφου ταις πρεσβείαις σου, ημάς εξάρπασον.

Πάτερ θεόφρον Αρσένιε, αγάπη θείας πλησθείς, την του κόσμου προσπάθειαν, νουνεχώς κατέλιπες, και Χριστόν ηκολούθησας, τω της ψυχής σου ενθέω έρωτι, τω παιδιόθεν σε καταφλέγοντι, όθεν επέδειξας, βίον αγιωτατον επί της γης, και Αγγελων πέφηνας, δόξης συμμέτοχος.

Πάτερ θεόφρον Αρσένιε, τον του Κυρίου Σταυρόν, θεοφρόνως αράμενος, σεαυτόν εσταύρωσας, κόσμω όντως και πάθεσι, και σωτηρίου πλουσίου νάματος, τοις εν ασκήσει πόνοις μετέλαβες, όθεν σης χάριτος, τω αγίω ύδατι νυν μυστικώς, τας ψυχάς κατάρδευσον, των ευφημούντων σε.

Πάτερ θεόφρον Αρσένιε, δια την όντως ζωήν, της παρούσης ηλόγισας, και τοις πόνοις έκδοτον, σου το σώμα προδέδωκας, προς την αγήρω και ατελεύτητον, τρυφήν ενθέως αποσκοπούμενος, ης και επέτυχες, συν Αγγέλων τάξεις διηνεκώς, θρόνω παριστάμενος, του Παντοκράτορος.

Δόξα. Ήχος πλ. α .

Όσιε Πάτερ θεοφόρε Αρσένιε, ασκητικοίς αγωνίσμασι και αρετών προτερήμασι, τύπον παρέσχες σαυτόν ακριβέστατον, τοις ευσεβώς πολιτεύεσθαι θέλουσι, την εν Ευαγγελίω γαρ φωνήν, του Κυρίου ακούσας καλούσάν σε, των γεηρών το άχθος απέρριψας, και ως δρομαία έλαφος, προς το βραβείον της άνω κλήσεως κατέπαυσας, ο και απολαβών εκ του πάντων Δεσπότου τη χειρί, εν των πραέων τη γη κατεσκήνωσας, όθεν σήμερον και ημείς οι πιστοί, την μνήμην σου τελούντες, ικετεύομέν σε, μη παύση αεί πρεσβεύειν, σωθήναι πάντας ημάς.

Και νυν. Της εορτής.

Δοξολογία Μεγάλη και απόλυσις.

**ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τα τυπικά, οι μακαρισμοί, και εκ του κανόνος του Οσίου, η γ’ και στ’ ωδή.

Απόστολον ζήτει εις την εορτήν του Αγίου Σάββα (Γαλάτας ε 22-26, στ 1-2)

Ευαγγέλιον, ζήτει τη τρίτη της α εβδομάδος Ματθαίου (Ματθαίου δ 23-25, ε 1-13)

Κοινωνικόν: Εις μνημόσυνον αιώνιον...

Μεγαλυνάριον.

Χαίροις εναρέτου ζωής κανών, και της απαθείας ο πολύτιμος θησαυρός, χαίροις των Οσίων, ισότιμος εν δόξη, Αρσένιε παμμάκαρ, ημών αντίληψις.

